**El rapte de Persèfone**

Πλούτων δὲ Περσεφόνης ἐρασθεὶς, Διὸς συνεργοῦντος , ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων, νυκτός τε καὶ ἡμέρας, κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιήει · μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν, εἰκασθεῖσα δὲ γυναικὶ ἧκεν εἰς Ἐλευσῖνα. καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκεῖνης κληθεῖσαν Ἀγέλασον ἐκάθισε πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον· ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, ἔνδον οὐσῶν γυναικῶν καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι, γραῖα τις Ἰάμβη σκώψασα τὴν θεὸν ἐποίησε μειδιᾶσαι.

APOL·LODOR , *Biblioteca Mitològica I 5, 1*